*πολέμιοι, καὶ ταύτῃ γε αὐτοὺς συγγενεῖς ἄν τις εἴποι Τηρέως. καὶ ἀμβλυώττουσιν ὑπὲρ πᾶν ἕτερον γένος ὀρνέων, ὡς καὶ θεραπείαν τοῦ πάθους ἐπίστασθαι· γάλα δ' ἔστι θριδακίνης ἀγρίας, ἣν ἀποτέμνειν τοῖς ἱέραξιν ἔθος ὑπὲρ ἰάσεως.*

**7.** *Τῶν ἰκτίνων δ' οὐδὲν ἄν τις ἀναιδέστερον εἴποι· ὁρμῶσι γὰρ καὶ ἐπ' αὐτὰς πολλάκις τῶν ἀνθρώπων τὰς χεῖρας, καὶ διαφθείρουσι τῶν κατοικιδίων ὀρνίθων τοὺς νεοττοὺς καὶ λυποῦσι μάλιστα τὰς γυναῖκας. τίνουσι μέντοι τὴν προσήκουσαν δίκην, τοὺς πόδας ἐν ῥητῷ τινι τοῦ ἔτους καιρῷ σφόδρα ἀθλίως ἀλγοῦντες. φασὶ δ' αὐτοὺς μηδὲ τῇ ῥοιᾷ ποτε ἐπικαθῆσθαι τῶν δένδρων, μηδὲ ὁρᾶν ἐθέλειν αὐτό. καὶ ἄπιστος μέν, κρατεῖ δὲ λόγος περὶ αὐτῶν, ὅτι γαμετήν τις ἀποβαλὼν ἀνὴρ θυγατέρα τ' ἐξ αὐτῆς ἔχων, ὄνομα Σίδην, εἶδεν εἰς τὴν κόρην αἰσχρῶς, ὥστε τοῦ πατρὸς τὴν μίξιν ἐκείνην ἐκκλίνουσαν τῷ τῆς μητρὸς ἑαυτὴν ἐπισφάξαι τάφῳ· εἶτα τῶν θεῶν, φασί, τὸ*